τῶν ἄλλων ἁπάντων κατεγνωκὼς ὡς οὐκ ἀξίων κήδους βασιλικοῦ, ἐπὶ τοῦτον τὸν ἄνδρα ὅλοις ἱστίοις τοῦ λογισμοῦ φέρεται· τὴν δὲ γυναῖκα ἀντικειμένην εἰδὼς τῷ βουλεύματι, σκήπτεται μὲν κατὰ τοῦ ἀνδρὸς ὀργὴν βαρυτάτην καὶ ἀπαραίτητον, καὶ πέμπει τοὺς ἐκεῖνον μὲν δεινῶς τιμωρήσοντας, ἐκείνην δὲ τῆς κοσμικῆς ζωῆς ἀποσπάσοντας· ἡ δὲ οὐκ εἰδυῖα τὸ ἀπόρρητον τοῦ βουλεύματος, οὐδὲ τὸ προσωπεῖον γνωρίσασα τῆς ὀργῆς, εὐθὺς ἑαυτὴν πρὸς τὴν ἐπιχείρησιν ἐπιδίδωσι. Καὶ ἡ μὲν τάς τε τρίχας ἀποτμηθεῖσα, καὶ ἐσθῆτα μεταμφιεσαμένη τὴν μέλαιναν, ἐπί τι καταγώγιον μετατίθεται, ὁ δὲ Ρωμανὸς (τοῦτο γὰρ ὄνομα τῷ ἀνδρὶ) ἐπὶ τὰ βασίλεια πρὸς τὸ τοῦ βασιλέως κῆδος ἀναλαμβάνεται· καὶ ἡ καλλίστη τῶν τοῦ Κωνσταντίνου θυγατέρων ὁμοῦ τε ὀπτάνεται τούτῳ καὶ εἰς βασιλικὴν συμβίωσιν ἄγεται. Ὁ δέ γε πατὴρ τοσοῦτον ἐπιζήσας ὅσον αἰσθέσθαι [1] τῆς συνοικήσεως, μεταλλάττει τὸν βίον, τῷ κηδεστῇ Ρωμανῷ τὸ κράτος καταλιπών.

---

# ΤΌΜΟΣ ΤΡΊΤΟΣ.

Γίνεται λοιπὸν αὐτοκράτωρ ὁ ἐκείνου γαμβρὸς Ρωμανὸς τὴν τοῦ Ἀργυροπώλου κλῆσιν ἐκ τοῦ γένους λαχών. Οὗτος τοίνυν ὁ Ρωμανός, ὥσπερ ἀρχὴν περιόδου τὴν ἡγεμονίαν οἰηθείς, ἐπειδὴ ἐς τὸν πενθερὸν Κωνσταντῖνον τὸ βασίλειον γένος ἀπετελεύτησεν ἐκ Βασιλείου τοῦ Μακεδόνος [2] ἠργμένον, εἰς μέλλουσαν ἀπέβλεπε γενεάν· ὁ δὲ ἔμελλεν ἄρα οὐ μόνον ἑαυτῷ περιγράψειν τὸ κράτος, ἀλλὰ καὶ βραχύν τινα ἐπιβιώσας χρόνον, καὶ τοῦτον νοσερόν, ἀθρόον [3] τὴν ψυχὴν ἀπορρεύξασθαι, περὶ οὗ δὴ προϊὼν ὁ λόγος δηλώσει σαφέστερον. Ἡ δὲ ἐντεῦθεν τῆς ἱστορίας γραφὴ ἀκριβεστέρα τῆς προλα-

1. χ. ἐσθέσθαι. 2. χ. Μαχέδονος. 3. χ. ἀθρῶον.